Antonini
libri XII

AB
..179

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-573687-p0001-5
DFG



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-573687-p0002-1

6

τοῦ ἐν ἁγίοις

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΥΣΣΗΣ

ΠΡΟΣ ΕΥΣΤΑΘΙΑΝ, ΑΜΒΡΟ-
σίαν καὶ Βασίλισσαν

καὶ

ΠΕΡΙ ΤΩΝ ΑΠΙΟΝΤΩΝ ΕΙΣ
Ἱεροσόλυμα

# ΕΠΙΣΤΟΛΑΙ.

# B. Gregorij Nysseni ad Eustathiam, Ambrosiam, & Basilissam

*Vt &*

DE IIS, QUI ADEUNT
Hierosolyma

# EPISTOLÆ.

*In Vsum* SCHOLAE *HANNOVERANAE.*

HANNOVERÆ, *Typis exscripsit* Joh. Fridericus Glaser,
Sumtu Christophori Ulrichs / Bibl. Hannoverani,

Anno cIↃ IↃ cXLIV.

# ΤΑΙΣ ΚΟΣΜΙΩΤΑΤΑΙΣ ΑΛΗΘΩΣ,

## ΚΑΙ ΕΥΛΑΒΕΣΤΑΤΑΙΣ ΑΔΕΛΦΑΙΣ, Εὐσταθίᾳ καὶ Ἀμβροσίᾳ, καὶ τῇ κοσμιωτάτῃ καὶ σεμνοτάτῃ θυγατρὶ Βασιλίσσῃ,

## ΓΡΗΓΟΡΙΟΣ ΕΝ ΚΥΡΙΩ ΧΑΙΡΕΙΝ.

Ἡ ΜῈΝ τῶν ἀγαθῶν καὶ καταθυμίων συντυχία, καὶ τὰ γνωρίσματα τῆς μεγάλης τοῦ Δεσπότου ὑπὲρ ἡμῶν φιλανθρωπίας, τὰ ἐν τοῖς τόποις δεικνύμενα, τῆς μεγίστης ἐγένετό μοι χαρᾶς τε καὶ εὐφροσύνης ὑπόθεσις. δι' ἀμφοτέρων γὰρ ἐδηλώθη μοι ἡ κατὰ Θεὸν ἑορτή, διά τε τοῦ ἰδεῖν τὰ σωτήρια σύμβολα * τοῦ ζωοποιήσαντος ἡμᾶς Θεοῦ, καὶ διὰ
τοῦ ψυχαῖς συντυχεῖν, ἐν αἷς τὰ τοιαῦτα τῆς τοῦ Joh. 5, 21.
Κυρίου χάριτος σημεῖα πνευματικῶς θεωρεῖται. ὥστε πιστεύειν, ὅτι ἀληθῶς ἐν τῇ καρδίᾳ ἐστὶ τοῦ τὸν Θεὸν ἔχοντος ἡ Βηθλεέμ, ὁ Γολγο-

φὴ, ὁ Ἐλαιὼν, ἡ Ἀνάστασις. ὅτε γὰρ διὰ τῆς ἀ-
γαθῆς συνειδήσεως ὁ Χριστὸς * ἐμμορφωθῇ, καὶ
Gal. 4, 19. ὁ καθηλώσας * τῷ θείῳ φόβῳ τὰς σάρκας αὐτοῦ,
Gal. 5, 24. καὶ * συσταυρωθεὶς τῷ Χριστῷ, καὶ ἀποκυλί-
Gal. 2, 20. σας ἀφ' ἑαυτοῦ τὸν βαρὺν τῆς βιωτικῆς ἀπάτης
λίθον, καὶ ἐξελθὼν τοῦ σωματικοῦ μνημείου ὡς
Rom. 6, 4. * ἐν καινότητι ζωῆς περιεπάτησε, καὶ ὁ κατα-
λιπὼν τὴν κοίλην καὶ χαμαίζηλον τῶν ἀνθρώ-
πων ζωὴν, ἀναβὰς δὲ διὰ τῆς ὑψηλῆς ἐπιθυ-
μίας εἰς τὴν ἐπουράνιον πολιτείαν, καὶ τὰ * ἄ-
Coloss. 3, 3. νω φρονῶν, οὗ ὁ Χριστὸς, καὶ μὴ βαρυνόμενος
τῷ ἄχθει τοῦ σώματος, ἀλλ' ἐξελαφρύνας διὰ
καθαρωτέρας ζωῆς, ὥστε αὐτῷ νεφέλης δίκην
συμμετεωροπορεῖν ἐπὶ τὰ ἄνω τὴν σάρκα· οὗ-
τος, κατά γε τὴν ἐμὴν κρίσιν, ἐκείνων ἐστὶ τῶν
κατωνομασμένων, ἐν οἷς τὰ ὑπομνήματα τοῦ
Δεσπότου ὑπὲρ ἡμῶν φιλανθρωπίας ὁρᾶται.
ἐπειδὴ τοίνυν εἶδον μὲν καὶ αἰσθητῶς τοὺς ἁ-
γίους τόπους, εἶδον δὲ καὶ ἐν ὑμῖν τῶν τοιούτων τό-
πων ἐναργῆ τὰ σημεῖα, τοσαύτης ἐπληρώθην
χαρᾶς, ὥστε ὑπὲρ λόγον εἶναι τοῦ ἀγαθοῦ τὴν
διήγησιν. ἀλλ' ἐπειδὴ ἔοικεν ἄνθρωπον ὄντα, δύ-
σκολον εἶναι, ἵνα μὴ εἴπω ὅτι ἀδύνατον, ἀμιγὲς
τοῦ κακοῦ τὸ ἀγαθὸν καρποῦσθαι. διὰ τοῦτό μοι τῇ
γεύσει τῶν γλυκέων συγκατεμίχθη τι καὶ τῶν πι-
κραινόντων τὴν αἴσθησιν, ἐφ' οἷς μετὰ τὴν ἀγα-
θὴν τῶν εὐφραινόντων ἀπόλαυσιν, πάλιν ἐπὶ
τὴν πατρίδα σκυθρωπάζων ἐπορευόμην, λογι-
ζόμενος,

ζόμενος, ὅτι ἀληθὴς ὁ τοῦ Κυρίου λόγος ὁ εἰ-
πών, *ὅλον τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι 1.Joh.5,19.
ὡς μηδὲν τῆς οἰκουμένης μέρος ἐλεύθερον εἶναι τῆς
μοίρας τοῦ χείρονος. εἰ γὰρ ὁ τὸ ἅγιον τῆς ὄντως
ζωῆς ἴχνος ὑποδεξάμενος τόπος τῆς πονη-
ρᾶς *ἀκάνθης οὐ καθαρεύει, τί χρὴ περὶ τῶν Matth.13.
λοιπῶν ἐννοεῖν τόπων, οἷς ἡ τοῦ ἀγαθοῦ μετουσία Marc. 4.
κατεσπάρη διὰ ψιλῆς ἀκοῆς καὶ κηρύγματος; Luc.8.
ταῦτα δὲ πρὸς ὅ, τι βλέπων φημί, πάντως οὐδὲν
χρὴ γυμνότερον διὰ τῶν λόγων ἐκτίθεσθαι, αὐτῶν
τῶν πραγμάτων πάσης φωνῆς γνωρίμου γεγω-
νότερον διαβοώντων τὰ λυπηρά. Μίαν ἔχ-
θραν ἐνομοθέτησεν ἡμῖν ὁ τῆς ζωῆς ἡμῶν νομο-
θέτης, τὴν πρὸς τὸν ὄφιν λέγω· πρὸς οὐδὲν
ἄλλο τὴν τοῦ μισεῖν δύναμιν ἐνεργεῖσθαι προστά-
ξας, εἰ μὴ πρὸς τὴν ἀποστροφὴν τῆς κακίας. * Gen. 3,15.
ἔχθραν γὰρ θήσω, φησίν, ἀνὰ μέσον σοῦ καὶ ἀνὰ
μέσον ἐκείνου. ἐπειδὴ ποικίλη τις καὶ πολυειδής
ἐστιν ἡ κακία, διὰ τοῦ ὄφεως ὁ λόγος ταύτην
αἰνίττεται, τῇ πυκνῇ τῶν φολίδων θέσει τὸ πολύ-
τροπον τῆς κακίας χαρακτηρίζων. ἡμεῖς δὲ
πρὸς μὲν τὸν ὄφιν ἔνσπονδοι, διὰ τοῦ τὰ θελή-
ματα τοῦ ἀντικειμένου ποιεῖν, ἐγενόμεθα· τὸ δὲ μῖ-
σος κατ' ἀλλήλων ἐτρέψαμεν. τάχα δὲ οὐδὲ
καθ' ἡμῶν, ἀλλὰ κατὰ τοῦ τὴν ἐντολὴν δεδωκό-
τος. ὁ μὲν γάρ φησιν, * ἀγαπήσεις τὸν πλησίον
σου, καὶ μισήσεις τὸν ἐχθρόν σου, τὸν τῆς φύσεως ἡμῶν Matt.5,43.
πολέμιον μόνον ἐχθρὸν ἡγεῖσθαι προστάξας

πάντα δὲ τὸν κοινωνοῦντα τῆς φύσεως, πλησίον ἑκάστου εἶναι εἰπών· ἡ δὲ βαρυκάρδιος ἡμῶν γνώμη τοῦ πλησίον ἡμᾶς διαστήσασα, θάλπειν τὸν ὄφιν ἐποίησε, καὶ τοῖς τῶν φολίδων αὐτοῦ στίγμασιν ἐπιτέρπεσθαι. ἐγὼ γὰρ τὸ μὲν τοὺς ἐχθροὺς τοῦ θεοῦ μισεῖν ἔννομον εἶναι φημί, καὶ ἀρέσκειν τῷ Δεσπότῃ τὸ τοιοῦτο μῖσος· ἐχθροὺς δὲ λέγω κατὰ πάντα τρόπον τὴν Δεσπότου δόξαν ἀπαρνουμένους, εἴτε τοὺς Ἰουδαίους, εἴτε τοὺς φανερῶς εἰδωλολατροῦντας, εἴτε τοὺς διὰ τῶν Ἀρείου δογμάτων εἰδωλοποιοῦντας τὴν κτίσιν, καὶ τὴν Ἰουδαϊκὴν πλάνην ἀναλαμβάνοντας. εἰ δὲ Πατὴρ, καὶ Υἱὸς, καὶ Ἅγιον Πνεῦμα εὐσεβῶς δοξάζοιτο καὶ προσκυνοῖτο παρὰ τῶν πιστευόντων ἐν ἀσυγχύτῳ καὶ διακεκριμένῃ τῇ ἁγίᾳ Τριάδι μίαν εἶναι καὶ φύσιν, καὶ δόξαν, καὶ βασιλείαν, καὶ δύναμιν, καὶ τὴν ἐπὶ πάντων ἐξουσίαν. ἐνταῦθα ὁ πόλεμος τίνα εὔλογον αἰτίαν ἔχει; ὅτε ἐπεκράτει τὰ τῆς αἱρέσεως δόγματα, καὶ τὸ παρακινδυνεῦσαι πρὸς τὰς ἐξουσίας, δι᾽ ὧν ἐδόκει τὸ τῶν ἀντικειμένων δόγμα κρατύνεσθαι, καλῶς εἶχεν· ὡς ἂν μὴ καταδυναστεύοιτο ταῖς ἀνθρωπίναις δυναστείαις ὁ σωτήριος λόγος. νυνὶ δὲ κατὰ πᾶσαν τὴν οἰκουμένην ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ, καὶ ἕως τοῦ ἄκρου αὐτοῦ ἴσως κηρυσσομένης ἐν φανερῷ τῆς εὐσεβείας, ὁ τοῖς κηρύσσουσι τὴν εὐσέβειαν πολεμῶν, οὐκ ἐκείνοις μάχεται, ἀλλὰ τῷ παρ᾽ αὐτῶν εὐσεβῶς κηρυσσομένῳ. τίς

γὰρ

γὰρ εἶναι σκοπὸς ἄλλος ὀφείλει τῷ τὸν Θεῖον ἔχον-
τι ζῆλον, εἰ μὴ τὸ παντὶ * τρόπῳ τὴν δόξαν τοῦ Philipp. 1. v.18.
Θεοῦ καταγγέλλεσθαι; ἕως γὰρ οὐ ἐξ ὅλης καρ-
δίας τε καὶ ψυχῆς καὶ διανοίας προσκυνεῖται
ὁ μονογενὴς Θεός, ἐκεῖνο εἶναι πεπιστευμένος
ἐν πᾶσιν, ὅπερ ἐστὶν ὁ Πατήρ, ὡσαύτως δὲ καὶ τὸ
Πνεῦμα τὸ ἅγιον, ὁμοτίμως προσκυνήσει δο-
ξάζηται, οἱ τὰ περιττὰ σοφιζόμενοι ποίαν τοῦ
πολέμου εὐπρόσωπον ἔχουσιν ἀφορμήν; * σχί-
ζοντες τὸν χιτῶνα τὸν ἄρρηκτον, καὶ πρὸς * Παῦ-
λον, καὶ Κηφᾶν τὸ ὄνομα τοῦ Κυρίου καταμερί- Joh.19,24.
ζοντες· καὶ τὸν προσεγγισμὸν τῶν τὸν Χριστὸν προσ- 1.Cor.1,12.
κυνούντων, βδελυκτὸν ἀποφαίνοντες· μονο-
νοῦ φανερῶς ἐκεῖνο βοῶντες τοῖς ῥήμασιν, *Πόῤ- Jesai.65,5.
ῥω ἀπ᾽ ἐμοῦ· Μὴ ἐγγίσῃς μοι· ὅτι καθαρός εἰμι.
δεδόσθω δὲ καὶ πλέον τι αὐτοῖς κατὰ τὴν γνῶ-
σιν, ἥνπερ αὐτοὶ οἴονται κατειληφέναι, προσεῖ-
ναι. μὴ πλέον τοῦ πιστεύειν ἀληθινὸν εἶναι
Θεὸν τὸν τοῦ Θεοῦ ἀληθινὸν Υἱὸν ἔχουσιν; τῇ γὰρ * τοῦ 1.Joh.5,20.
ἀληθινοῦ Θεοῦ ὁμολογίᾳ πάντα συμπεριλαμ-
βάνεται τὰ εὐσεβῆ καὶ σώζοντα ἡμᾶς νοήματα·
ὅτι ἀγαθός, ὅτι δίκαιος, ὅτι δυνατός, ἄτρεπτός
τε καὶ ἀναλλοίωτος, καὶ * ἀεὶ ὁ αὐτός, οὔτε πρὸς Heb.13,8.
τὸ χεῖρον, οὔτε πρὸς τὸ βέλτιον τραπῆναι
δυνάμενος· τὸ μὲν γὰρ οὐ πέφυκε, τὸ δὲ οὐκ ἔχει.
τί γὰρ ὑψίστου ὑψηλότερον; τί τοῦ ἀγαθοῦ ἀγαθώτε-
ρον; ὥστε ἐν πάσῃ τοῦ ἀγαθοῦ τελειότητι θεωρού-
μενος κατὰ πᾶν εἶδος τροπῆς τὸ ἀναλλοίω-

τὸν ἔχει. οὐ κατὰ καιροὺς τινὰς τὸ τοιοῦτον ἐν ἑαυ-
τῷ δεικνύς, ἀλλ' ἀεὶ ὡσαύτως ἔχων, καὶ πρὸ
τῆς κατ' ἄνθρωπον οἰκονομίας, καὶ ἐν ἐκείνῳ, καὶ
μετὰ τοῦτο. οὐδὲν τῆς ἀτρέπτου καὶ ἀναλλοιώτου φύ-
σεως ἐν ταῖς ὑπὲρ ἡμῶν ἐνεργείαις πρὸς τὸ ἐ-
πεμφαῖνον μεθαρμοζόμενος. τὸ γὰρ φύσει ἄ-
φθαρτον καὶ ἀναλλοίωτον ἀεὶ τοιοῦτόν ἐστιν, οὐ
συναλλοιούμενον τῇ ταπεινῇ φύσει, ὅταν ἐν ἐ-
κείνῃ κατ' οἰκονομίαν γένηται, κατὰ τὸ τοῦ ἡλίου
ὑπόδειγμα. ὃς ὑποβαλὼν τὴν ἀκτῖνα τῷ
ζόφῳ, τὸ φῶς τῆς ἀκτῖνος οὐκ ἠμαύρωσεν·
ἀλλὰ τὸ σκότος διὰ τῆς ἀκτῖνος εἰς φῶς με-
Joh.1,5.9. τεποίησεν· οὕτως καὶ τὸ * ἀληθινὸν φῶς ἐν τῇ
σκοτίᾳ ἡμῶν λάμψαν οὐκ αὐτὸ ὑπὸ τοῦ σκό-
τους κατεσκιάσθη, ἀλλὰ δι' ἑαυτοῦ τὸν ζόφον ἐφώ-
τισεν. ἐπειδὴ τοίνυν ἐν σκότῳ τὸ ἀνθρώπινον ἦν,
Psalm.82,5. καθὼς γέγραπται, * ὅτι οὐκ ἔγνωσαν, οὐδὲ
συνῆκαν, ἐν σκότῳ διαπορεύονται· ὁ ἐλλάμ-
ψας τῇ ἐσκοτισμένῃ φύσει διὰ παντὸς τοῦ συγ-
κρίματος ἡμῶν τῆς θεότητος τὴν ἀκτῖνα δια-
γαγὼν, διὰ ψυχῆς, λέγω, καὶ σώματος, ὅ-
λον τὸ ἀνθρώπινον τῷ ἰδίῳ φωτὶ προσῳκείω-
σε τῇ πρὸς ἑαυτὸν ἀνακράσει. ὅπερ ἐστὶν αὐτὸς,
κἀκεῖνο ἀπεργασάμενος· καὶ οὐκ ἐφθάρη ἡ
θεότης ἐν τῷ φθαρτῷ σώματι γενομένη. οὕτως
οὔτε εἰς τροπὴν ἠλλοιώθη τὸ τρεπτὸν τῆς ψυχῆς
ἡμῶν ἰασαμένη. καὶ ἐπὶ τῆς ἰατρικῆς τέχνης ὁ
θεραπεύων τὰ σώματα, ἐπειδὰν ἅψηται τοῦ

πε-

πεπονθότος, οὐκ αὐτὸς ἐμπαθὴς γίνεται, ἀλλὰ τὸ νοσοῦν ἐξιάσατο. μηδεὶς δὲ διὰ τοῦτο τὸ τοῦ εὐαγγελίου μὴ δεόντως ἐκλαμβάνων, ἡγείσθω, κατὰ προκοπήν τινα καὶ ἀκολουθίαν καθ' ὀλίγον πρὸς τὸ θειότερον μεταποιεῖσθαι τὴν ἡμετέραν φύσιν ἐν τῷ Χριστῷ. τὸ γὰρ * προκόπτειν ἡλικίᾳ, (Luc. 2, 52.) καὶ σοφίᾳ, καὶ χάριτι, εἰς ἀπόδειξιν τοῦ ἀληθῶς ἐν τῷ ἡμετέρῳ φυράματι γεγενῆσθαι τὸν Κύριον παρὰ τῆς γραφῆς ἱστόρηται. ὡς ἂν μή τινα χώραν ἔχοι τὸ τῶν ἀντὶ τῆς ἀληθοῦς θεοφανίας δόκησίν τινα γεγενῆσθαι δογματιζόντων, ἐν σωματικῇ μορφῇ κατεσχηματισμένην. διὰ τοῦτο ὅσα τῆς φύσεως ἡμῶν ἴδια ἀνεπαισχύντως καὶ περὶ αὐτοῦ ἱστορεῖ ἡ γραφή, τὴν βρῶσιν, τὴν πόσιν, τὸν ὕπνον, τὸν κόπον, τὴν τροφὴν τὴν προκοπὴν τῆς σωματικῆς ἡλικίας, τὴν αὔξησιν· πάντα δι' ὧν ἡ ἡμετέρα χαρακτηρίζεται φύσις, πλὴν τῆς καθ' ἁμαρτίαν ὁρμῆς. ἡ γὰρ ἁμαρτία ἀπότευγμα φύσεώς ἐστιν, οὐκ ἰδίωμα. ὡς καὶ ἡ νόσος καὶ ἡ πήρωσις οὐκ ἐξ ἀρχῆς ἡμῖν συμπέφυκεν, ἀλλὰ παρὰ φύσιν συμβαίνει· οὕτως καὶ ἡ κατὰ κακίαν ἐνέργεια, καθάπερ τις πήρωσις τοῦ ἐμπεφυκότος ἡμῖν ἀγαθοῦ, νοεῖται· οὐκ ἐν τῷ αὐτὴν ὑφεστάναι καταλαμβανομένη, ἀλλ' ἐν τῇ τοῦ ἀγαθοῦ ἀπουσίᾳ θεωρουμένη. ὁ οὖν τὴν φύσιν ἡμῶν πρὸς τὴν θείαν δύναμιν μεταστοιχειώσας, ἄπηρον αὐτὴν καὶ ἄνοσον ἑαυτῷ διεσώσατο, τὴν ἐξ ἁμαρτίας γινο-

μένην τῇ προαιρέσει πήρωσιν οὐ προσδεξάμε-
1.Pet.2,22. νος. * ἁμαρτίαν γάρ, φησιν, οὐκ ἐποίησεν, οὐδ'
εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. οὗτος δὲ οὐ μετά
τι χρονικὸν διάστημα περὶ αὐτὸν θεωρούμενος. ἀλλ'
εὐθὺς ὁ ἐν Μαρίᾳ ἄνθρωπος, ἐν ᾧ * ᾠκοδό-
Jesa.53,9. μησεν ἡ Σοφία * τὸν ἴδιον οἶκον. τῇ μὲν ἑαυτοῦ φύ-
Prov.9,1. σει ἐκ τοῦ ἐμπαθοῦς φυράματος ἦν· ὁμοῦ δὲ τῇ ἐ-
1.Cor.1,25. πελεύσει τοῦ Ἁγίου Πνεύματος καὶ τῇ ἐπισκηνώ-
σει τῆς τοῦ Ὑψίστου δυνάμεως, ὅπερ τὸ ἐπισκηνῶ-
σαν ἦν φύσει τῇ ἰδίᾳ, εὐθὺς ἐκεῖνο ἐγένετο. χω-
ρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ
κρείττονος εὐλογεῖται. ἐπεὶ οὖν ἄπειρόν τι ἐστὶ καὶ
ἀμέτρητον ἡ τῆς θεότητος δύναμις, βραχὺ δὲ
καὶ οὐτιδανὸν τὸ ἀνθρώπινον· ἅμα τε ἐπῆλθε τὸ
Πνεῦμα τῇ Παρθένῳ, καὶ ἡ τοῦ Ὑψίστου ἐπεσκία-
σε δύναμις, τὸ διὰ τῆς τοιαύτης ἀφορμῆς πη-
γνύμενον σκήνωμα οὐδὲν τῆς ἀνθρωπίνης σαπρί-
ας συνεπεσπάσατο· ἀλλ' ὥσπερ ἦν ἐν τῷ συστή-
ματι, εἰ καὶ ἄνθρωπος ἦν, πλὴν ἀλλὰ καὶ πνεῦ-
μα καὶ χάρις καὶ δύναμις ἦν· ἐν τῇ ὑπερβο-
λῇ τῆς θείας δυνάμεως τῆς κατὰ τὴν φύσιν ἡμῶν ἰδιό-
τητος ἐκλαμπούσης. καὶ ἐπειδὴ δύο πέρατα
τῆς ἀνθρωπίνης ἐστὶ ζωῆς, ὅθεν ἀρχόμεθα καὶ εἰς
ὃ καταλήγομεν· ἀναγκαίως ὁ πᾶσαν ἡμῶν τὴν
ζωὴν θεραπεύων διὰ τῶν δύο ἄκρων ἡμᾶς περι-
πτύσσεται, καὶ τῆς ἀρχῆς ἡμῶν καὶ τοῦ τέλους περι-
δραξάμενος· ἵνα ἐξ ἀμφοτέρων ὑψώ-
σῃ τὸν κείμενον. ὅπερ οὖν ἐπὶ τοῦ κατὰ τὸ
τέλος μέρους καταλαμβάνομεν, τοῦτο καὶ

περὶ τῆς ἀρχῆς λογιζόμεθα. ὡς γὰρ ἐκεῖ τὸ μὲν
σῶμα τῆς ψυχῆς διαζευχθῆναι κατ' οἰκονομί-
αν ἐποίησεν· ἡ δὲ ἀμέριστος θεότης ἅπαξ ἀνα-
κραθεῖσα τῷ ὑποκειμένῳ, οὔτε τοῦ σώματος,
οὔτε τῆς ψυχῆς ἀνεσπάσθη, ἀλλὰ μετὰ μὲν τῆς ψυ-
χῆς * ἐν τῷ παραδείσῳ γίνεται ὁδοποιοῦσα διὰ Luc.23,43.
λῃστοῦ τοῖς ἀνθρωπίνοις τὴν εἴσοδον· διὰ δὲ τοῦ σώ-
ματος * ἐν τῇ καρδίᾳ τῆς γῆς, ἀναιροῦσα τὸν τὸ Matt. 22.
κράτος ἔχοντα τοῦ θανάτου· καὶ διὰ τοῦτο καὶ τὸ v.40.
σῶμα ΚΥΡΙΟΣ λέγεται, διὰ τὴν ἐγκειμένην θε-
ότητα. οὕτω καὶ ἐπὶ τῆς ψυχῆς λογιζόμεθα, ὅτι ὅ-
λη τῇ φύσει ἡμῶν ἡ τοῦ Ὑψίστου δύναμις διὰ τῆς
ἐπελεύσεως τοῦ Ἁγίου Πνεύματος ἐγκραθεῖσα
καὶ ἐν τῇ ψυχῇ ἡμῶν γίνεται, καθὸ εἰκὸς ἐν ψυχῇ
γενέσθαι· καὶ τῷ σώματι καταμίγνυται· ὡς ἂν διὰ
πάντων ὁλοτελὴς ἡ σωτηρία γένηται· φυλασσο-
μένης τῇ θεότητι καὶ ἐν τῇ ἀρχῇ τῆς ἀνθρωπίνης
ζωῆς, καὶ ἐν τῷ τέλει τῆς θεοπρεποῦς τε καὶ ὑψηλῆς
ἀπαθείας. οὔτε γὰρ ἡ ἀρχὴ κατὰ τὴν ἡμετέραν ἀρχήν,
οὔτε τὸ τέλος κατὰ τὸ ἡμέτερον τέλος. ἀλλ' ἔδειξε
κἀκεῖ καὶ ὧδε τὴν θεϊκὴν ἐξουσίαν· μήτε τῆς ἀρ-
χῆς ἐν ἡδονῇ μολυνθείσης, μήτε τοῦ τέλους εἰς
φθορὰν καταλήξαντος. εἰ οὖν ταῦτα βοῶμεν
καὶ διαμαρτυρόμεθα, ὅτι Χριστὸς Θεοῦ δύνα-
μις καὶ Θεοῦ σοφία, ἀεὶ ἄτρεπτος, ἀεὶ ἀφθαρ-
τος, κἂν ἐν τῷ τρεπτῷ καὶ φθαρτῷ γένηται,
οὐκ αὐτὸς μολυνόμενος, ἀλλὰ τὸ μολυνθὲν
καθαρίζων· τί ἀδικοῦμεν, καὶ ὑπὲρ τίνος

μισοῦ-

μισούμεθα; καὶ τί βούλεται ἡ τῶν καινῶν θυσιαστηρίων ἀντεξαγωγή; μὴ ἄλλον Ἰησοῦν καταγγέλλομεν; μὴ ἕτερον ὑποδεικνύομεν; μὴ ἄλλας γραφὰς ἐκτιθέμεθα; μὴ τὴν ἁγίαν Παρθένον τὴν Θεοτόκον ἐτόλμησέ τις ἡμῶν καὶ ἀνθρωποτόκον εἰπεῖν· ὅπερ ἀκούομέν τινας ἐξ αὐτῶν ἀφειδῶς λέγειν; μὴ τρεῖς ἀναστάσεις μυθοποιοῦμεν; μὴ χιλίων ἐτῶν γαστριμαργίας ἐπαγγελλόμεθα; μὴ τὴν Ἰουδαϊκὴν ζωοθυσίαν πάλιν ἐπαναληφθήσεσθαι λέγομεν; μὴ περὶ τὴν κάτω Ἱερουσαλὴμ τὰς ἐλπίδας τῶν ἀνθρώπων κλίνομεν, ἀνοικισμὸν αὐτῆς διὰ τῆς εὐφανεστέρας τῶν λίθων ὕλης ἀναπλάσσοντες; τί τοιοῦτον ἔχοντες ἐγκαλεῖσθαι φευκτοὶ ἐνομίσθημεν, καὶ ἄλλο παρά τινων ἀντεγείρεται ἡμῖν θυσιαστήριον, ὡς ἡμῶν βεβηλούντων τὰ ἅγια; ὑπὲρ τούτων ἐν φλεγμονῇ καὶ λύπῃ τὴν καρδίαν ἔχων, ὅμως τῷ ἐπιβῆναι τῆς μητροπόλεως ἀποκενῶσαι τῆς ψυχῆς τὴν πικρίαν, διὰ τοῦ γράψαι πρὸς τὴν ἀγάπην ὑμῶν, προεθυμήθην. ὑμεῖς δὲ ἐφ' ὅπερ ἂν ὑμῶν χειραγωγήσῃ τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ἐκείνῳ εἴητε, ὀπίσω τοῦ Θεοῦ πορευόμενοι, σαρκὶ δὲ καὶ αἵματι μὴ προσανέχουσι, μηδὲ ἀφορμὴν παρασκευάζουσί τισι καυχήματος, ἵνα μὴ ἐν ἡμῖν καυχήσωνται διὰ τοῦ ὑμετέρου βίου τῆς φιλοδοξίας αὐτῶν ἐπαυχανομένης. ἀναμνήσθητε τῶν ἁγίων πατέρων, οἷς παρὰ τοῦ μακαρίου πατρὸς ὑμῶν ἐνεχειρίσθητε· ὧν

καὶ

ϗ ἡμεῖς κατὰ Θεοῦ χάριν τὴν διαδοχὴν ἔχειν
κατηξιώθημεν καὶ μὴ * μετάιρετε ὅρια, ἃ ἔ- Prov. 22.
θεντο οἱ πατέρες ἡμῶν, μηδὲ ἀτιμάζετε τὸν ἰδι- 28.
ωτισμὸν τοῦ ἁπλουστέρου κηρύγματος, μηδὲ
ποικίλαις διαδοχαῖς τὸ πλέον νείματε. ἀλλὰ 5.
* στοιχεῖτε τῷ ἀρχαίῳ κανόνι τῆς πίστεως. καὶ ὁ Gal. 6,16.
Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν ἐρρωμένων
ψυχῇ καὶ σώματι. Ὁ Κύριος φυλάσσοι ὑ-
μᾶς * ἐν ἀφθαρσίᾳ, καθὼς εὐχόμεθα. Eph. 6,24.

ΤΕΛΟΣ.

## Emendationes & conjecturæ Clmi Casauboni.

Κοίλην *scripsit ex* κύλην. *legit autem* ὑλικήν. Κατωνομασμένων, *nempe* τόπων. *locus manet suspectus. Pro* καὶ τὴν Ἰουδ. *mavult* ἢ τὴν Ἰουδ. *In* καὶ ἕως, *copulam omittendam censet. Pro* καὶ οὐκ ἐφθάρη, *legit:* ϗ ὡς οὐκ ἐφθάρη. *Pro* μεταποιεῖσθαι, *legit* μεταπεποιῆσθαι. οὐτιδανόν. *emendavit ex* ϗ ἔτι δ' ἄνον. *Pro* ὥσπερ *fuerat scriptum* ὅσπερ, *&* ὅπερ, *quod ferri potest. Pro* ἐπὶ τῆς ψυχῆς. *legit asseveranter:* ἐπὶ τῆς ἀρχῆς. *Pro* ἄφεραστος. *legit,* ἄφθαρτος. Ἐκτιθέμεθα *recte scripsit ex* οὐκ πθέμεθα. *Pro* ἐν ἐκείνῳ εἴητε *legit:* στήκετε.

# ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΠΕΡΙ

## τῶν ἀπιόντων εἰς Ἱεροσόλυμα.

Ἐπειδή περ ἠρώτησας, ὦ φίλε, διὰ τοῦ γράμματος, πρέπειν ᾠήθην περὶ πάντων σοι καθεξῆς ἀποκρίνασθαι. ἐγὼ τοὺς ἅπαξ ἀνατεθεικότας ἑαυτοὺς τῇ ὑψηλῇ πολιτείᾳ, καλῶς ἔχειν φημὶ πρὸς τὰς τοῦ εὐαγγελίου διὰ παντὸς ἀποβλέπειν φωνάς· καὶ ὥσπερ οἱ τῷ κανόνι τὸ ὑποκείμενον ἀπευθύνοντες, κατὰ τὴν ἐπὶ τοῦ κανόνος εὐθεῖαν τὰ σκολιὰ τὰ ἐν χερσὶν εἰς εὐθύτητα μεταβάλλουσιν· οὕτως προσήκειν ἡγοῦμαι οἷόν τινα κανόνα ὀρθὸν καὶ ἀδιάστροφον, τὴν εὐαγγελικὴν λέγω δὴ πολιτείαν,

λιτείαν, τούτοις ἐπιβάλλοντας, καὶ ἐκείνην
πρὸς τὸν Θεὸν ἀπευθύνεσθαι. ἐπεὶ τοίνυν εἰσί
τινες τῶν τὸν μονήρη καὶ ἰδιάζοντα βίον ἐπανῃρη-
μένοι, οἷς ἐν μέρει εὐσεβείας νενόμισται τὸ τοὺς
ἐν Ἱεροσολύμοις τόπους ἰδεῖν, ἐν οἷς τὰ σύμ-
βολα τῆς διὰ σαρκὸς ἐπιδημίας τοῦ Κυρίου
ὁρᾶται, καλῶς ἂν ἔχοι πρὸς τὸν κανόνα βλέ-
πειν· καὶ εἰ ταῦτα βούλεται ἡ παρὰ τῶν ἐντο-
λῶν χειραγωγία, ποιεῖν τὸ ἔργον, ὡς πρόστα-
γμα Κυρίου· εἰ δὲ ἔξω ἐστὶ τῶν ἐντολῶν τοῦ Δεσπό-
του, οὐκ οἶδα τί ἐστι τὸ διαπεταγμένον τι θέ-
λειν ποιεῖν αὐτὸν ἑαυτοῦ τοῦ καλοῦ νόμον γινόμε-
νον. * ὅπου προσκαλεῖται πρὸς τὴν κληρο- Matt. 25, 34.
νομίαν τῆς βασιλείας τῶν οὐρανῶν ὁ Κύριος τοὺς
εὐλογημένους, τὸ ἀπελθεῖν εἰς Ἱεροσόλυμα ἐν
τοῖς κατορθώμασιν οὐκ ἀπηρίθμησεν· ὅπου τὸν *Matth. 5, 3.
μακαρισμὸν διαγγέλλει, τὴν τοιαύτην σπου-
δὴν οὐ περιέλαβεν. ὃ δὲ μήτε μακάριον ποιεῖ,
μήτε πρὸς τὴν βασιλείαν εὔθετον, ἀντὶ τίνος
σπουδάζεται; ὁ νοῦν ἔχων ἐπισκεψάσθω. καὶ
εἰ μὲν ἐπωφελὲς ἦν τὸ γινόμενον, οὐκ ἦν οὐδὲ
οὕτως καλὸν παρὰ * τῶν τελείων σπουδάζεσθαι. 1. Cor. 2, 6.
ἐπεὶ δὲ καταμανθανόμενον δι' ἀκριβείας τὸ γι-
νόμενον, καὶ ψυχικὴν προστρίβεται βλάβην τοῖς
τὸν ἀκριβῆ βίον ἐνστησαμένοις, οὐκ ἔστι τῆς μα-
κρᾶς

κεῶς σπουδῆς ἄξιον, ἀλλὰ τῆς μεγίστης φυλακῆς, ὡς μηδενὶ τῶν καταβλαπτόντων ὁ κατὰ θεὸν περιῃρημένος ζῆν περιπείροιτο. τί οὖν ἐστὶν ἐν τούτοις βλαπτόν; ἡ σεμνὴ πολιτεία πᾶσι πρόκειται, καὶ ἀνδράσι καὶ γυναιξὶν, ἴδιον τοῦ κατὰ φιλοσοφίαν βίου, ἡ εὐσχημοσύνη· αὕτη δὲ ἐν τῷ ἀμίκτῳ καὶ ἰδιάζοντι βίῳ τῆς ζωῆς κατορθοῦται, ὡς ἀνεπίμικτον καὶ ἀσύγχυτον εἶναι τὴν φύσιν, μήτε τῶν γυναικῶν ἐν ἀνδράσι, μήτε τῶν ἀνδρῶν ἐν γυναιξὶ πρὸς τὰ παρατετηρημένα τῆς εὐσχημοσύνης ὁρμώντων. ἀλλ' ἡ τῆς ὁδοιπορίας ἀνάγκη ἀεὶ τὴν ἐν τούτοις ἀκρίβειαν καὶ πρὸς ἀδιαφορίαν τῶν παρατετηρημένων ἄγει. ἀμήχανον γὰρ γυναικὶ τοσαύτην ὁδὸν διαδραμεῖν, εἰ μὴ τὸν διασώζοντα ἔχοι, καὶ διὰ τὴν φυσικὴν ἀσθένειαν ἀναγομένη ὑπὸ τὸ ὑποζύγιον, κἀκεῖθεν καταγομένη, καὶ ἐν ταῖς δυσχερείαις παρακρατουμένη. ὅπερ δ' ἂν ὑποθώμεθα, εἴτε γνώριμον ἔχει τὸν τὴν θεραπείαν ἀποπληροῦντα, εἴτε μισθωτὸν τὸν τὴν διακονίαν παρεχόμενον, καθ' ἑκάτερον μέρος οὐ διαφεύγει τὴν μέμψιν τὸ γινόμενον. οὔτε γὰρ τῷ ξένῳ ἑαυτὴν προσαναπαύουσα, οὔτε τῷ ἰδίῳ,

τὸν τῆς σωφροσύνης φυλάττει νόμον. τῶν δὲ κατὰ τοὺς ἀνατολικοὺς τόπους πανδοχείων καὶ καταλυμάτων καὶ πόλεων πολλὴν τὴν ἄδειαν καὶ πρὸς τὸ κακὸν τὴν ἀδιαφορίαν ἐχόντων. πῶς ἔσται δυνατὸν τὸν διὰ καπνοῦ παρελόντα μὴ δειμυχθῆναι τὰς ὄψεις; ὅπου μολύνεται μὲν ἀκοὴ, μολύνεται δὲ ὀφθαλμὸς, μολύνεται δὲ καρδία, δι' ὀφθαλμῶν καὶ ἀκοῆς δεχομένη τὰ ἄτοπα· πῶς ἔσται δυνατὸν ἀπαθῶς παρελθεῖν τοὺς ἐμπαθεῖς τόπους; τί δὲ καὶ πλέον ἕξει ὁ ἐν τοῖς τόποις ἐκείνοις γενόμενος, ὡς μέχρι τοῦ νῦν σωματικῶς τοῦ Κυρίου ἐν ἐκείνοις τοῖς τόποις διάγοντος, ἡμῶν δὲ ἀποφοιτῶντος· ἢ ὡς τοῦ ἁγίου Πνεύματος παρὰ τοῖς Ἱεροσολυμίταις πλεονάζοντος, πρὸς δὲ ἡμᾶς διαβῆναι ἀδυνατοῦντος. καὶ μὴν εἰ ἔστιν ἐκ τῶν φαινομένων, Θεοῦ παρουσίαν τεκμήρασθαι. μᾶλλον ἄν τις ἐν τῷ ἔθνει τῶν Καππαδοκῶν τὸν Θεὸν διαιτᾶσθαι νομίζειεν, ἤπερ ἐν τοῖς ἔξω τόποις ὅσα γάρ ἐστιν ἐν τούτοις θυσιαστήρια, δι' ὧν τὸ ὄνομα τοῦ Κυρίου δοξάζεται, οὐκ ἄν τις τοσάδε πάσης σχεδὸν τῆς οἰκουμένης ἐξαριθμήσαιτο θυσιαστήρια. ἔπειτα καὶ εἰ ἦν πλέον ἡ χάρις ἐν τοῖς κατὰ Ἱεροσόλυμα τόποις, οὐκ ἂν ἐπεχωρίαζε τοῖς ἐκεῖ ζῶσιν ἡ ἁμαρτία. νῦν μέν τοι οὐκ ἔστιν ἀκαθαρσίας εἶδος, ὃ μὴ τολμᾶται παρ' αὐτοῖς. καὶ πονηρίαι, καὶ μοιχεῖαι, καὶ κλοπαὶ, καὶ εἰδωλολατρεῖαι, καὶ φαρμακεῖαι,

καὶ φθόνοι, καὶ φόνοι, καὶ μάλιστά γε τὸ τοιοῦτον ἐπιχωριάζει κακὸν, ὥστε μηδαμοῦ τοιαύτην ἑτοιμότητα εἶναι πρὸς τὸ φονεύειν, ὅσην ἐν τοῖς τόποις ἐκείνοις· θηρίων δίκην τῷ αἵματι τῶν ὁμοφύλων ἐπιτρεχόντων ἀλλήλων ψυχροῦ κέρδους χάριν, ὅπου τοίνυν ταῦτα γίνεται, ποίαν ἀπόδειξιν ἔχει τοῦ πλείονα χάριν εἶναι ἐν τοῖς τόποις ἐκείνοις; ἀλλ᾽ οἶδα τὸ ἀντιλεγόμενον τῶν πολλῶν πρὸς τὰ παρ᾽ ἐμοῦ εἰρημένα· λέγουσι γὰρ· διὰ τί ταῦτα καὶ ἐπὶ σεαυτὸν οὐκ ἐνομοθέτησας; εἰ γὰρ μηδέν ἐστι κέρδος τῷ κατὰ Θεὸν ἐκδημήσαντι ἀντὶ τοῦ γενέσθαι ἐκεῖ, ὑπὲρ τίνος μάτην ὑπέστης τὴν τοσαύτην ὁδόν; ἀκουσάτωσαν οὖν τῆς ὑπὲρ τούτων παρ᾽ ἐμοῦ ἀπολογίας· ἐμοὶ διὰ τὴν ἀνάγκην ταύτην ἐν ᾗ ζῆν ἐτάχθην παρὰ τοῦ οἰκονομοῦντος ἡμῶν τὴν ζωὴν, ἐγένετο τῆς ἁγίας συνόδου διορθώσεως ἕνεκεν τῆς κατὰ τὴν Ἀραβίαν ἐκκλησίας, μέχρι τῶν τόπων γενέσθαι. καὶ ἐπειδὴ ὅμορός ἐστιν ἡ Ἀραβία τοῖς κατὰ Ἱεροσόλυμα τόποις, ὑπεσχόμην καὶ συσκεψόμενος τοῖς προεστῶσι τῶν ἁγίων Ἱεροσολυμιτῶν ἐκκλησιῶν, διὰ τὸ εἶναι αὐτῶν ἐν ταραχῇ τὰ πράγματα, καὶ χρήζειν τοῦ μεσιτεύοντος· ἔπειτα δὲ, καὶ τοῦ εὐσεβεστάτου βασιλέως παρασχομένου τὴν εὐκολίαν τῆς ὁδοῦ διὰ δημοσίου ὀχήματος, οὐδεμία ἡμῖν ἀνάγκη ἐγένετο ταῦτα πάσχειν, ἃ καὶ ἐπὶ τῶν ἄλλων κατενοήσαμεν. τὸ

γὰρ

γὰρ ὄχημα ἡμῖν ἀντὶ ἐκκλησίας καὶ μοναστηρίου, διὰ πάσης τῆς ὁδοῦ συμψαλλόντων πάντων καὶ συννηστευόντων τῷ Κυρίῳ. τὸ οὖν ἡμέτερον μηδένα σκανδαλιζέτω· μᾶλλον δὲ πιθανὴ γενέσθω ἡ συμβουλία ἡμῶν, ὅτι περὶ ὧν τοῖς ὀφθαλμοῖς ἐπεβάλομεν περὶ τούτων καὶ συμβουλεύομεν. ἡμεῖς γὰρ τὸν ἐπιφανέντα Χριστὸν εἶναι Θεὸν ἀληθινὸν ὡμολογήσαμεν καὶ πρὶν ἐπὶ τοῦ τόπου γενέσθαι, καὶ μετὰ ταῦτα, οὔτε τῆς πίστεως ἐλαττουμένης, οὔτε μετὰ ταῦτα προσαυξηθείσης. καὶ τὴν διὰ τῆς παρθένου ἐνανθρώπησιν καὶ πρὸ τῆς Βηθλεὲμ ἠπιστάμεθα· καὶ τὴν ἐκ νεκρῶν ἐξανάστασιν, καὶ πρὸ τοῦ μνήματος ἐπιστεύσαμεν· καὶ τὴν εἰς οὐρανοὺς ἀνάβασιν καὶ δίχα τοῦ τὸ ὄρος τῶν ἐλαιῶν ἰδεῖν, ἀληθῆ εἶναι ὡμολογήσαμεν. τοσοῦτον δὲ μόνον ἐκ τῆς ὁδοιπορίας ὠφελήθημεν, ὅσον ἐν συγκρίσει γνῶναι, ὅτι τὰ ἡμέτερα τῶν ἔξω πολὺ ἁγιώτερά ἐστιν. ὅθεν οἱ φοβούμενοι τὸν Κύριον, ἐν οἷς ἐστὲ τόποις, αἰνέσατε αὐτόν. Θεοῦ γὰρ προσεγγισμὸν τοπικὴ μετάστασις οὐ κατεργάζεται. ἀλλ' ὅπου περ ἂν ᾖς, πρὸς σὲ ἥξει ὁ Θεὸς, ἐάν γε τὸ τῆς ψυχῆς σου καταγώγιον τοιοῦτον εὑρεθῇ, ὥστε ἐνοικῆσαι τὸν Κύριον ἐν σοὶ καὶ ἐμπεριπατῆσαι. εἰ δὲ πλήρη ἔχεις τὸν ἔσω ἄνθρωπον λογισμῶν πονηρῶν, κἂν ἐπὶ τοῦ Γολγοθᾶ ᾖς, κἂν ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, κἂν ὑπὸ τὸ μνῆμα τῆς ἀναστάσεως, τοσοῦτον ἀπέχεις τὸν Χριστὸν δέξασθαι ἐν ἑαυτῷ, ὅσον οἱ μηδὲ τὴν ἀρχὴν ὁμολογήσαντες. συμ-

βέλτιον οὖν, ἀγαπητέ, τοῖς ἀδελφοῖς ἐκδημεῖν ἀπὸ τοῦ σώματος πρὸς τὸν Κύριον, καὶ μὴ ἀπὸ Καππαδοκίας εἰς Παλαιστίνην. εἰ δέ τις τὴν τοῦ Κυρίου φωνὴν προβάλοι τὴν παραγγείλασαν τοῖς μαθηταῖς, μὴ χωρίζεσθαι ἀπὸ Ἱεροσολύμων, νοησάτω τὸ εἰρημένον, ἐπειδήπερ ἡ τοῦ ἁγίου Πνεύματος χάρις καὶ διανομὴ οὔπω ἐπεφοίτησε τοῖς ἀποστόλοις, προσέταξεν αὐτοῖς ὁ Κύριος ἐπὶ τὸ αὐτὸ μένειν, ἕως ἂν ἐνδύσωνται δύναμιν ἐξ ὕψους. εἰ μὲν ὃ ἦν ἀπ' ἀρχῆς ἐγίνετο μέχρι τοῦ νῦν, τοῦ ἁγίου Πνεύματος ἐν εἴδει πυρὸς τῶν χαρισμάτων οἰκονομοῦντος ἕκαστον, ἔδει πάντας εἶναι ἐν τῷ τόπῳ ἐκείνῳ ἐν ᾧ ἡ διανομὴ τοῦ χαρίσματος ἐγίνετο. εἰ δὲ τὸ Πνεῦμα ὅπου θέλει πνεῖ, καὶ οἱ ἐνταῦθα πιστεύσαντες, μέτοχοι γίνονται τοῦ χαρίσματος, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, οὐ κατὰ τὴν ἀποδημίαν τὴν ἐν Ἱεροσολύμοις.

ΤΕΛΟΣ.

# ΣΥΝΕΣΙΟΥ ΥΜΝΟΣ.

ΠΡΩΤΟΣ νόμον εὑρόμαν
Ἐπὶ σοί, μάκαρ, ἄμβροτε.
Γόνε κύδιμε παρθένου,
Ἰησοῦ Σολημήϊε,
Κρέξαι κιθάρας μίτους,
Ἀλλ' εὐμενέοις, ἄναξ,
Καὶ δέχνυσο μουσικὰν
Ἐξ εὐαγέων μελῶν.
Ὑμνήσομεν ἄφθιτον
Θεὸν ἦα θεοῦ μέγαν,
Αἰωνοτόκου πατρὸς
Τὸν κοσμογόνον κόρον·
Τὰν παντομιγῆ φύσιν,
Σοφίαν ἀπειρέσιον,
Τὸν ἐπουρανίοις θεὸν,
Τὸν ὑποχθονίοις νέκυν.
Ἐχύθης ὅτ' ἐπὶ χθονὶ
Βροτέας ἀπὸ νηδύος.
Μάγος ἁ πολύφρων τέχνα
Ἐξ ἀστέρος ἀντολᾶς
Θάμβησεν ἀμήχανος
Τί τὸ τικτόμενον βρέφος,
Τίς ὁ κρυπτόμενος θεὸς,
Θεὸς, ἢ νέκυς, ἢ βασιλεύς.
Ἄγε δῶρα κομίζετε
Σμύρνης ἐναγίσματα,
Χρυσοῦ τ' ἀναθήματα,
Λιβάνου τε θύη καλά,

Θεὸς

Θεὸς εἶ, λίβανον δέχου.
Χρυσὸν βασιλεῖ φέρω.
Σμύρνη τάφος ἁρμόσει.
Καὶ γᾶν ἐκάθηρας,
Καὶ πόντια κύματα,
Καὶ δαιμονίας ὁδοὺς,
Ῥαδινὰν χύσιν ἀέρος,
Καὶ νερτερίους μυχοὺς
Φθιμένοισι βοηθός
Θεὸς εἰς ἄδην σταλείς.
Ἀλλ' εὐμενέοις, ἄναξ,
Καὶ δέχνυσο μουσικὰν
Ἐξ εὐαγέων μελῶν.

## ΤΟΥ ΑΥΤΟΥ ΥΜΝΟΣ.

Μνώεο Χριστὲ,
Υἱὲ θεοῖο
Ὑψιμέδοντος,
Οἰκέτεω σέο,
Κῆρ' ἀλιτροῖο
Γράψαντος τάδε.
Καί μοι ὄπασσον
Λύσιν παθέων
Κηριτρεφέων,
Τά μοι ἐμφυῆ    H. St. ἐμφύη.
Ψυχᾷ ῥυπαρᾷ.
Δὸς δ' ἰδέσθαι
Σῶτερ Ἰησοῦ
Ζαθέαν αἴγλαν

Σὰν· ἔνθα φανεὶς
Μέλψω ἀοιδὰν
Ψυχὰν παίονι,
Παίονι γήθων,
Πατρὶ σῷ μεγάλῳ·
Πνεύματί θ᾽ ἁγνῷ.

## ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝ-ζηνοῦ ᾠδή.

Σέ τὸν ἄφθιτον μονάρχην,
Δὸς ἀνυμνεῖν, δὸς ἀείδειν,
Τὸν ἄνακτα, τὸν δεσπότην,
Δι᾽ ὃν ὕμνος, δι᾽ ὃν αἶνος,
Δι᾽ ὃν ἀγγέλων χορεῖαι,
Δι᾽ ὃν αἰῶνες ἄπαυστοι·
Δι᾽ ὃν ἥλιος περιλάμπει,
Δι᾽ ὃν ὁ δρόμος σελήνης,
Δι᾽ ὃν ἄστρων μέγα κάλλος·
Δι᾽ ὃν ἄνθρωπος ὁ σεμνὸς
Ἔλαχεν νοεῖν τὸ θεῖον,
Λογικὸν ζῶον ὑπάρχων.
Σὺ γὰρ ἔκτισας τὰ πάντα,
Παρέχων τάξιν ἑκάστῳ,
Συνέχων τε τῇ προνοίᾳ.
Λόγον εἶπας, πέλεν ἔργον.
Ὁ λόγος σου, θεὸς υἱός·
Ὁμοούσιος γάρ ἐστιν,
Ὁμότιμος τῷ τεκόντι.
Ὃς ἐφήρμοσεν τὰ πάντα,
Ἵνα πάντων βασιλεύσῃ.
Περιλαμβάνων δὲ πάντα

Ἅγιον πνεῦμα τὸ θεῖον
Προνοούμενον φυλάσσει.
Τριάδα ζῶσαν ἐρῶ σε,
Ἕνα καὶ μόνον μονάρχην,
Φύσιν ἄτρεπτον, ἄναρχον,
φύσιν οὐσίας ἀφράστου,
Σοφίας νοῦ ἀνέφικτον,
Κράτος οὐρανῶν ἄπταιστον,
Ἄτερ ἀρχῆς, ἀπέραντον,
Ἀκατασκόπητον αὐγήν,
Ἐφορῶσαν τὰ πάντα,
Βάθος οὐδὲν ἀγνοοῦσαν,
Ἀπὸ γῆς μέχρις ἀβύσσου.
Πάτερ ἵλεως γενοῦ μοι
Διὰ παντὸς θεραπεύειν
Τὸ σέβασμα τοῦτο δός μοι
Τὰ δ' ἁμαρτήματα ῥύψον,
Τὸ συνειδὸς ἐκκαθαίρων
Ἀπὸ πάσης κακονοίας,
Ἵνα δοξάζω τὸ θεῖον,
Ὁσίας χεῖρας ἐπαίρων
Ἵνα Χριστὸν εὐλογήσω
Γόνυ κάμπτων ἱκετεύσω,
Τότε προσλαβεῖν με δοῦλον
Ὅταν ἔλθῃ βασιλεύσων·
Πάτερ ἵλεως γενοῦ μοι·
Ἔλεον καὶ χάριν εὕρω.
Ὅτι δόξα καὶ χάρις σοι
Ἄχρις αἰῶνος ἀμέτρου.

ΤΕΛΟΣ.

97179

X2359442

ULB Halle 3
007 106 378

VD17

9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-573687-p0027-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-573687-p0028-5

6

Τοῦ ἐν ἁγίοις

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΥΣΣΗΣ

ΠΡΟΣ ΕΥΣΤΑΘΙΑΝ, ΑΜΒΡΟσίαν καὶ Βασίλισσαν

καὶ

ΠΕΡΙ ΤΩΝ ΑΠΙΟΝΤΩΝ ΕΙΣ Ἱεροσόλυμα

# ΕΠΙΣΤΟΛΑΙ.

# B. Gregorij Nysseni ad Eustathiam, Ambrosiam, & Basilissam

*Vt &*

DE IIS, QUI ADEUNT Hierosolyma

# EPISTOLÆ.

*In Vsum SCHOLAE HANNOVERANAE.*

HANNOVERÆ, *Typis exscripsit* Joh. Fridericus Glaser,
Sumtu Christophori Ulrichs / Bibl. Hannoverani,

Anno CIↃ IↃ C XLIV.